# 88. THE TRANSFIGURATION (Mk-Lk Identicals)

| Mark 9:2-13 | Luke 9:28-36 |
|---|---|
| | Ἐγένετο δὲ μετὰ τοὺς λόγους τούτους |
| Καὶ μετὰ ἡμέρας ἓξ | ὡσεὶ ἡμέραι ὀκτὼ |
| παραλαμβάνει ὁ Ἰησοῦς | καὶ παραλαβὼν |
| τὸν Πέτρον | Πέτρον |
| καὶ τὸν Ἰάκωβον καὶ τὸν Ἰωάννην, | καὶ Ἰωάννην καὶ Ἰάκωβον |
| καὶ ἀναφέρει αὐτοὺς εἰς ὄρος | ἀνέβη εἰς τὸ ὄρος |
| ὑψηλὸν κατ ἰδίαν | προσεύξασθαι. |
| μόνους. | |
| | 29 καὶ ἐγένετο |
| | ἐν τῷ προσεύχεσθαι αὐτὸν |
| καὶ μετεμορφώθη ἔμπροσθεν | τὸ εἶδος τοῦ προσώπου αὐτοῦ |
| αὐτῶν, | ἕτερον |
| 3 καὶ τὰ ἱμάτια αὐτοῦ ἐγένετο | καὶ ὁ ἱματισμὸς αὐτοῦ |
| στίλβοντα λευκὰ λίαν | λευκὸς ἐξαστράπτων. |
| οἷα γναφεὺς ἐπὶ τῆς γῆς οὐ δύναται οὕτως λευκᾶναι. | |
| 4 καὶ | 30 καὶ ἰδοὺ |
| ὤφθη αὐτοῖς | |
| | ἄνδρες δύο συνελάλουν αὐτῷ, |
| | οἵτινες ἦσαν |
| Ἠλίας σὺν Μωϋσεῖ, | Μωϋσῆς καὶ Ἠλίας, |
| καὶ ἦσαν συλλαλοῦντες τῷ Ἰησοῦ. | |
| | 31 οἳ ὀφθέντες ἐν δόξῃ ἔλεγον τὴν ἔξοδον αὐτοῦ ἣν ἤμελλεν πληροῦν ἐν Ἰερουσαλήμ. 32 ὁ δὲ Πέτρος καὶ οἱ σὺν αὐτῷ ἦσαν βεβαρημένοι ὕπνῳ· διαγρηγορήσαντες δὲ εἶδον τὴν δόξαν αὐτοῦ καὶ τοὺς δύο ἄνδρας τοὺς συνεστῶτας αὐτῷ. |
| | 33 καὶ ἐγένετο ἐν τῷ διαχωρίζεσθαι αὐτοὺς ἀπ αὐτοῦ |
| 5 καὶ ἀποκριθεὶς ὁ Πέτρος | εἶπεν ὁ Πέτρος |
| λέγει τῷ Ἰησοῦ, | πρὸς τὸν Ἰησοῦν, |
| Ῥαββί, καλόν ἐστιν | Ἐπιστάτα, καλόν ἐστιν |
| ἡμᾶς ὧδε εἶναι, | ἡμᾶς ὧδε εἶναι, |
| καὶ ποιήσωμεν τρεῖς σκηνάς, | καὶ ποιήσωμεν σκηνὰς τρεῖς, |

| | |
|---|---|
| σοὶ μίαν καὶ Μωϋσεῖ μίαν | μίαν σοὶ καὶ μίαν Μωϋσεῖ |
| καὶ Ἠλίᾳ μίαν. | καὶ μίαν Ἠλίᾳ, |
| 6 οὐ γὰρ ᾔδει τί ἀποκριθῇ, | μὴ εἰδὼς ὃ λέγει. |
| ἔκφοβοι γὰρ ἐγένοντο. | |
| | 34 ταῦτα δὲ αὐτοῦ λέγοντος |
| 7 καὶ ἐγένετο νεφέλη | ἐγένετο νεφέλη |
| ἐπισκιάζουσα αὐτοῖς, | καὶ ἐπεσκίαζεν αὐτούς· |
| | ἐφοβήθησαν δὲ ἐν τῷ εἰσελθεῖν |
| | αὐτοὺς εἰς τὴν νεφέλην. |
| καὶ ἐγένετο φωνὴ | 35 καὶ φωνὴ ἐγένετο |
| ἐκ τῆς νεφέλης, | ἐκ τῆς νεφέλης λέγουσα, |
| Οὗτός ἐστιν ὁ υἱός μου | Οὗτός ἐστιν ὁ υἱός μου |
| ὁ ἀγαπητός, | ὁ ἐκλελεγμένος, |
| ἀκούετε αὐτοῦ. | αὐτοῦ ἀκούετε. |
| 8 καὶ ἐξάπινα περιβλεψάμενοι | 36 καὶ ἐν τῷ γενέσθαι τὴν φωνὴν |
| οὐκέτι οὐδένα εἶδον | εὑρέθη |
| ἀλλὰ τὸν Ἰησοῦν μόνον | Ἰησοῦς μόνος. |
| μεθ ἑαυτῶν. | |
| 9 Καὶ καταβαινόντων αὐτῶν | |
| ἐκ τοῦ ὄρους | |
| διεστείλατο αὐτοῖς ἵνα | |
| μηδενὶ ἃ εἶδον διηγήσωνται, | |
| εἰ μὴ ὅταν ὁ υἱὸς τοῦ ἀνθρώπου | |
| ἐκ νεκρῶν ἀναστῇ. | |
| 10 καὶ τὸν λόγον ἐκράτησαν | καὶ αὐτοὶ ἐσίγησαν καὶ οὐδενὶ |
| πρὸς ἑαυτοὺς | ἀπήγγειλαν ἐν ἐκείναις ταῖς ἡμέραις οὐδὲν ὧν ἑώρακαν. |
| συζητοῦντες τί ἐστιν τὸ ἐκ νεκρῶν ἀναστῆναι. | |
| 11 καὶ ἐπηρώτων αὐτὸν | |
| λέγοντες, ῞ | |
| Οτι λέγουσιν οἱ γραμματεῖς | |
| ὅτι Ἠλίαν δεῖ ἐλθεῖν πρῶτον | |
| 12 ὁ δὲ ἔφη αὐτοῖς, | |
| Ἠλίας μὲν ἐλθὼν πρῶτον | |
| ἀποκαθιστάνει πάντα, | |
| καὶ πῶς γέγραπται | |
| ἐπὶ τὸν υἱὸν τοῦ ἀνθρώπου | |

*ἵνα πολλὰ πάθῃ καὶ ἐξουδενηθῇ*
*13 ἀλλὰ λέγω ὑμῖν*
*ὅτι καὶ Ἠλίας ἐλήλυθεν,*

*καὶ ἐποίησαν αὐτῷ*
*ὅσα ἤθελον,*

*καθὼς γέγραπται ἐπ αὐτόν.*

96 words out of 386 words = 25%